ἐπιθυμῶ μαθεῖν ὁπόθεν ὑπόνοιαν ὑμῖν τοῦ ψυχρὸς εἶναι
παρέσχεν.᾽ ‘οἴει γάρ’ ἔφην ἐγώ ‘τοῦτον | ἡμέτερον **652**
εἶναι τὸν λόγον;᾽ ‘ἀλλὰ τίνος᾽ εἶπεν ‘ἑτέρου;᾽ ‘μέμνημαι
μὲν οὖν᾽ ἔφην ἐγώ ‘καὶ Ἀριστοτέλους ἐντυχὼν οὐ νεωστὶ
λόγῳ περὶ τούτου τοῦ προβλήματος ἀλλ᾽ ἱκανῶς πάλαι.
διείλεκται δὲ καὶ Ἐπίκουρος (fr. 60) ἐν τῷ Συμποσίῳ πολ-
λοὺς λόγους, ὧν τὸ κεφάλαιόν ἐστιν ὡς ἐγῷμαι τοιόνδε.
φησὶ γὰρ οὐκ εἶναι θερμὸν αὐτοτελῶς τὸν οἶνον, ἀλλ᾽
ἔχειν τινὰς ἀτόμους ἐν αὐτῷ θερμασίας ἀποτελεστικὰς
ἑτέρας δ᾽ αὖ ψυχρότητος· ὧν τὰς μὲν ἀποβάλλειν, ὅταν
εἰς τὸ σῶμα παραγένηται, τὰς δὲ προσλαμβάνειν ἐκ τοῦ
σώματος, ὡς ἂν ἔχουσι κράσεως ἡμῖν ἢ φύσεως ὁμιλήσῃ,
ὡς τοὺς μὲν ἐκθερμαίνεσθαι τοὺς δὲ τοὐναντίον πάσχειν
μεθυσκομένους.᾽ B

2. ‘Ταῦτ᾽᾽ εἶπεν ὁ Φλῶρος ‘ἄντικρυς εἰς τὸν Πύρ-
ρωνα διὰ τοῦ Πρωταγόρου φέρει ἡμᾶς· δῆλον γὰρ ὅτι
καὶ περὶ ἐλαίου καὶ περὶ γάλακτος μέλιτός τε καὶ ὁμοίως
τῶν ἄλλων διεξιόντες ἀποδρασόμεθα τὸ λέγειν περὶ
ἑκάστου, ὁποῖον τῇ φύσει ἐστίν, μίξεσι ταῖς πρὸς ἄλληλα
καὶ κράσεσιν ἕκαστον γίνεσθαι φάσκοντες. ἀλλὰ σὺ πῶς
ἐπιχειρεῖς ⟨εἰς⟩ τὸ ψυχρὸν εἶναι τὸν οἶνον;᾽ ‘οὕτως, ⟨ὡς⟩᾽
ἔφην ‘ὑπέδυν τότε προσηναγκασμένος αὐτοσχεδιάσαι.
πρῶτον δ᾽ ἐπῄει μοι τὸ γινόμενον ὑπὸ τῶν ἰατρῶν· τοῖς
γὰρ ἐκλελυμένοις καὶ τόνου τινὸς δεομένοις κατὰ τὰς